89. THE EPILEPTIC BOY (Matt-Lk Identicals)

| Matt 17:14-20 | Luke 9:37-43a |
|---|---|
| | *Ἐγένετο δὲ τῇ ἑξῆς ἡμέρᾳ* |
| *Καὶ ἐλθόντων* | *κατελθόντων αὐτῶν* |
| | *ἀπὸ τοῦ ὄρους* |
| *πρὸς τὸν ὄχλον* | *συνήντησεν αὐτῷ ὄχλος πολύς.* |
| *προσῆλθεν αὐτῷ ἄνθρωπος* | *38 καὶ ἰδοὺ ἀνὴρ* |
| *γονυπετῶν αὐτὸν 15 καὶ λέγων,* | *ἀπὸ τοῦ ὄχλου ἐβόησεν λέγων,* |
| *Κύριε, ἐλέησόν* | *Διδάσκαλε, δέομαί σου ἐπιβλέψαι* |
| *μου τὸν υἱόν,* | *ἐπὶ τὸν υἱόν μου,* |
| | *ὅτι μονογενής μοί ἐστιν,* |
| *ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει·* | *39 καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτόν,* |
| | *καὶ ἐξαίφνης κράζει,* |
| | *καὶ σπαράσσει αὐτὸν* |
| | *μετὰ ἀφροῦ* |
| | *καὶ μόγις ἀποχωρεῖ ἀπ αὐτοῦ* |
| | *συντρῖβον αὐτόν·* |
| *πολλάκις γὰρ* | |
| *πίπτει εἰς τὸ πῦρ* | |
| *καὶ πολλάκις εἰς τὸ ὕδωρ.* | |
| *16 καὶ προσήνεγκα αὐτὸν* | *40 καὶ ἐδεήθην* |
| *τοῖς μαθηταῖς σου,* | *τῶν μαθητῶν σου* |
| | *ἵνα ἐκβάλωσιν αὐτό,* |
| *καὶ οὐκ ἠδυνήθησαν* | *καὶ οὐκ ἠδυνήθησαν.* |
| *αὐτὸν θεραπεῦσαι.* | |
| *17 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς* | *41 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς* |
| *εἶπεν,* | *εἶπεν,* |
| *Ὦ γενεὰ ἄπιστος* | *Ὦ γενεὰ ἄπιστος* |
| *καὶ διεστραμμένη,* | *καὶ διεστραμμένη,* |
| *ἕως πότε μεθ ὑμῶν ἔσομαι* | *ἕως πότε ἔσομαι πρὸς ὑμᾶς* |
| *ἕως πότε ἀνέξομαι ὑμῶν* | *καὶ ἀνέξομαι ὑμῶν* |
| *φέρετέ μοι αὐτὸν ὧδε.* | *προσάγαγε ὧδε τὸν υἱόν σου.* |
| | *42 ἔτι δὲ προσερχομένου αὐτοῦ* |
| | *ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον* |
| | *καὶ συνεσπάραξεν·* |

| | |
|---|---|
| *18 καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς,* | *ἐπετίμησεν δὲ ὁ Ἰησοῦςτῷ πνεύματι τῷ ἀκαθάρτῳ,* |
| *καὶ ἐξῆλθεν ἀπ  αὐτοῦ τὸ δαιμόνιον·* | |
| *καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης.* | *καὶ ἰάσατο τὸν παῖδα* |
| | *καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ.* |
| | *43  ἐξεπλήσσοντο δὲ πάντες* |
| | *ἐπὶ τῇ μεγαλειότητι τοῦ θεοῦ.* |
| *19 Τότε προσελθόντες* | |
| *οἱ μαθηταὶ τῷ Ἰησοῦ* | |
| *κατ  ἰδίαν εἶπον,* | |
| *Διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν* | |
| *ἐκβαλεῖν αὐτό* | |
| *20 ὁ δὲ λέγει αὐτοῖς,* | |
| *Διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν·* | |
| *ἀμὴν γὰρ λέγω ὑμῖν,* | |
| *ἐὰν ἔχητε πίστιν* | |
| *ὡς κόκκον σινάπεως,* | |
| *ἐρεῖτε τῷ ὄρει τούτῳ,* | |
| *Μετάβα ἔνθεν ἐκεῖ,* | |
| *καὶ μεταβήσεται·* | |
| *καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.* | |

255 total words with 62 identicals = 24%